# CRINAGORAS

## I

κἢν ῥίψῃς ἐπὶ λαιὰ καὶ ἢν ἐπὶ δεξιὰ ῥίψῃς,
  Κριναγόρη, κενεοῦ σαυτὸν ὕπερθε λέχους,
εἰ μή σοι χαρίεσσα παρακλίνοιτο Γέμελλα,
  γνώσῃ κοιμηθεὶς οὐχ ὕπνον ἀλλὰ κόπον.

## II

τὸν σκοπὸν Εὐβοίης ἁλικύμονος ᾖσεν Ἀριστὼ
  Ναύπλιον, ἐκ μολπῆς δ' ὁ θρασὺς ἐφλεγόμην.
ὁ ψεύστης δ' ὑπὸ νύκτα Καφηρείης ἀπὸ πέτρης
  πυρσὸς ἐμὴν μετέβη δυσμόρου ἐς κραδίην.

## III

ἀργύρεόν σοι τόνδε γενέθλιον ἐς τεὸν ἦμαρ,
  Πρόκλε, νεόσμηκτον δουρατίην κάλαμον,
εὖ μὲν ἐυσχίστοισι διάγλυπτον κεράεσσιν,
  εὖ δὲ ταχυνομένην εὔροον εἰς σελίδα,
πέμπει Κριναγόρης, ὀλίγην δόσιν ἀλλ' ἀπὸ θυμοῦ
  πλείονος, ἀρτιδαεῖ σύμπονον εὐμαθίῃ.

## IV

αἰετοῦ ἀγκυλοχείλου ἀκρόπτερον ὀξὺ σιδήρῳ
  γλυφθὲν καὶ βαπτῇ πορφύρεον κυάνῳ,